ὁ χαλκεὺς πρίονα, ἀλλὰ καὶ τὸ ἀσθενὲς θερμὸν οὐκ ἂν μαλάξειε σίδηρον ὥστε ἐξ αὐτοῦ γενέσθαι πρίονα, ὡς εἰκός ἐστιν.

## XXXI. — Ὅτι οὐκ ἀνάγκη ἐξ ἀϊδίου εἶναι τὰ κτίσματα.

Εἰ γὰρ τὴν ὁλότητα τῶν κτισμάτων ἢ ἕν τι αὐτῶν ἀνάγκη ἐστὶν εἶναι, δεῖ τὴν ἀνάγκην ταύτην ἔχειν ἢ ἐξ ἑαυτῶν, ἢ ἐξ ἄλλου· ἐξ ἑαυτῶν μὲν οὖν, ἀδύνατον· δέδεικται γάρ, ὅτι πᾶν ὂν ἀπὸ τοῦ πρώτου ὄντος εἶναι ἀνάγκη· ὃ δὲ οὐκ ἔχει τὸ εἶναι ἀφ' ἑαυτοῦ, οὐδὲ τὴν ἀνάγκην τοῦ εἶναι· εἰ δ' ἀφ' ἑτέρου ἐστὶν ἡ ἀνάγκη, δῆλον ὅτι ἔκ τινος αἰτίας ἐξωτερικῆς· αὕτη δὲ ἢ ποιητική ἐστιν αἰτία, ἢ τέλος· ἀλλ' ὁ μὲν Θεὸς οὐ ποιεῖ ἔκ τινος ἀνάγκης, ὡς δέδεικται. Οὐκ ἄρα ἐστὶν ἀπολελυμένως ἀνάγκη τὰ κτίσματα ἐκ τῆς ποιητικῆς αἰτίας. Ὁμοίως οὐδὲ ἐκ τῆς τελικῆς· τὰ γὰρ πρὸς τὸ τέλος οὐκ ἀπὸ τοῦ τέλους λαμβάνουσι τὴν ἀνάγκην εἰ μὴ καθόσον τὸ τέλος ἄνευ αὐτῶν ἢ οὐ δύναται εἶναι, ὡς οὐδὲ ἡ ζωὴ χωρὶς τοῦ σιτίου, ἢ οὐχ οὕτω καλῶς, ὡς οὐδὲ ἡ ὁδὸς ἄνευ ἵππου καλῶς· τὸ δὲ τέλος τῆς θείας θελήσεως, ἐξ ἧς τὰ ὄντα, οὐχ ἕτερόν τι τῆς θείας ἀγαθότητος, ἥτις οὐκ ἤρτηται τῶν κτισμάτων, οὔτε κατὰ τὸ εἶναι· ἔστι γὰρ καθ' ἑαυτὴν ἐξ ἀνάγκης· οὔτε κατὰ τὸ εὖ εἶναι, ἐπεὶ καθαυτήν ἐστι τελεία ἁπλῶς. Οὐκ ἄρα ἁπλῶς ἀναγκαῖον εἶναι τὰ κτίσματα· οὐδ' ἄρα ἀναγκαῖον τιθέναι, ὅτι ἐξ ἀϊδίου ἐγένοντο.

## XXXII. — Λόγοι δεικνύντες ἀΐδια εἶναι, ἐκ τοῦ Θεοῦ εἰλημμένοι.

Πᾶν τὸ μὴ ἀεὶ ποιοῦν κινεῖται, ἐπειδὰν ποιῇ, ἢ καθαυτὸ ἢ κατὰ συμβεβηκός· ὁ δὲ Θεὸς οὐδετέρως κινεῖται· ἀεὶ ἄρα ὡσαύτως ποιεῖ· ἐκ δὲ τῆς αὐτοῦ ἐνεργείας τὰ ὄντα ἐν τῷ εἶναι συνίστανται· ἐξ ἀϊδίου ἄρα ἦσαν τὰ ὄντα.

Ἔτι, τὸ ἀποτέ|λεσμα πρόεισιν ἐκ τοῦ ποιοῦντος διὰ τῆς ἐνεργείας f. 45
αὐτοῦ· ἀλλ' ἡ τοῦ Θεοῦ ἐνέργεια ἀΐδιος ἐστίν· οὐ γὰρ ἀπὸ τοῦ δυνάμει ποιεῖν εἰς τὸ ἐνεργείᾳ ποιεῖν ἤχθη ὑπό τινος· καὶ τὰ ὑπ' αὐτοῦ ἄρα κτισθέντα ἐξ ἀϊδίου ἔκτιστο.

Ἔτι, τῆς αἰτίας ὑποτεθείσης καὶ ἱκανῆς οὔσης, ἀνάγκη καὶ τὸ ἀποτέλεσμα ἕπεσθαι· ἀλλ' ὁ Θεὸς αἰτία τῶν ὄντων ὤν, καὶ ἱκανή ἐστιν αἰτία διηνεκῶς· τοῦ Θεοῦ οὖν ἐξ ἀϊδίου ὄντος αἰτίας τῶν ὄντων, καὶ τὰ ὄντα ἐξ ἀϊδίου παρῆκτο.

Ἔτι, ἐν τοῖς θελήσει ποιοῦσιν εὐθὺς ἕπεται τῇ ὁρμῇ τῆς θελήσεως τί (εἶναι) ποίημα γίνεσθαι, εἰ μὴ εἴη συμπεπληρωμένη ἡ θέλησις, ἢ δι' ἔνδειαν τῆς δυνάμεως· ὁ δὲ Θεὸς ἐξ ἀϊδίου θέλει πᾶν ὅπερ ἂν θέλει· οὐ

---

1 *μαλλάξειε* **A**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

γὰρ νέα κίνησις ἐπελθεῖν αὐτῷ δύναται· εἰ οὖν ἐξ ἀϊδίου θέλει παρῆχθαι τὴν κτίσιν, κώλυμα δὲ οὐδὲν οὔτε ἔνδεια τῆς δυνάμεως οὔτε ἔνδεια τῆς θελήσεως ἁρμόζει αὐτῷ, καὶ ἐξ ἀϊδίου ἄρα παρήχθη ἡ κτίσις.

Ἔτι, ἡ θεία ἀγαθότης, ἥτις ἐστὶ τῶν ὄντων αἰτία, ἄπειρός ἐστιν· οὐκοῦν ἐν τῷ ἀπείρῳ ἐκοινώνει τοῖς ἄλλοις ἑαυτῆς, καὶ οὐκ ἀπό τινος ὡρισμένου χρόνου· ὥστε ἐν τῷ ἀπείρῳ καὶ ἐξ ἀϊδίου τὰ κτίσματα ἦν.

## XXXIII. — Λόγοι ἐκ τῶν κτισμάτων.

Τὰ μὴ ἔχοντα δύναμιν πρὸς τὸ μὴ εἶναι· ταῦτα δέ εἰσιν ἐν οἷς οὐκ ἔστιν ὅλως ὕλη, ἢ ἔστι μέν, οὐχ ὑποκειμένη δὲ ἐναντιότησιν· ταῦτα ἀδύνατόν ἐστι μὴ εἶναι· τὰς νοητὰς τοίνυν οὐσίας καὶ τὰ οὐράνια σώματα οὕτως ἀδύνατόν ἐστι μὴ εἶναι· ἀνάγκη ἄρα εἶναι ταῦτα ἀεί.

Ἔτι, πάντα ἐφίεται τῆς κατὰ τὸ εἶδος ἀϊδιότητος, ὅπερ ἐν τῷ ἀτόμῳ συντηρεῖσθαι οὐ δύναται· ἀδύνατον δὲ αὐτὴν τῆς φύσεως ἔφεσιν εἰκῇ εἶναι· ἀνάγκη ἄρα τὰ εἴδη τῶν γενητῶν εἶναι ἀΐδια.

Ἔτι, εἰ ὁ χρόνος ἀΐδιος, καὶ ἡ κίνησις ἀΐδιος· καὶ τὰ κινητὰ ἄρα, ἅ εἰσιν αἱ κτισταὶ οὐσίαι, ἀΐδια.

## XXXIV. — Λόγοι ἐκ τῆς τοῦ κόσμου γενέσεως.

Κοινὴ ἀπόφασις τῶν φιλοσόφων ἐστίν, ὅτι ἐκ τοῦ μηδενὸς οὐδὲν γίνεται, ὥστε τὸ γεγενημένον ἐξ ἄλλου δεῖν γεγενημένον εἶναι· ἀλλ' ἐπ' ἄπειρον τοῦτο προχωρεῖν οἱ αὐτοὶ φιλόσοφοι οὐκ ἀξιοῦσιν, ἀλλὰ δεῖ καταντῆσαι εἴς τι πρῶτον, ὅπερ ἀεὶ ὄν, οὐκ ἂν εἴη γεγενημένον· ἀνάγκη τοίνυν ἐξ οὗ πρώτως γέγονε πάντα ἀΐδιον εἶναι· τοῦτο δὲ οὐκ ἔστι Θεός· ἐδείχθη γὰρ μὴ δύνασθαι εἶναι τὸν Θεὸν ὕλην τινὸς πράγματος· ἔστι τοίνυν ἔξω τοῦ Θεοῦ ἀΐδιόν τι, ἡ πρώτη ὕλη.

f. 45v

## XXXV. — Λύσεις τῶν τοιούτων λόγων.

Ἀλλ' οὐκ ἐξ ἀνάγκης τὰ εἰρημένα συμπεραίνουσιν· οὐ γὰρ ἀνάγκη τὸν Θεὸν κινεῖσθαι, εἰ τὰ κτίσματα αὐτοῦ ἐκ νέου ἤρξαντο εἶναι· ἡ γὰρ τοῦ ἀποτελέσματος καινότης μεταβολὴν δηλοῖ τοῦ ποιοῦντος, καθόσον δείκνυσι καινότητα ἐνεργείας, οὐ δυναμένης εἶναι νέας ἐνεργείας ἐν τῷ ποιοῦντι, εἰ μή τινα τρόπον κινοῖτο, τοὐλάχιστον ἐκ τοῦ μὴ ἐνεργεῖν εἰς τὸ ἐνεργεῖν. Ἡ δε καινότης τοῦ θείου ἀποτελέσματος οὐ τίθησιν ἐνεργείας καινότητα ἐν τῷ Θεῷ, ἐπεὶ ἡ ἐνέργεια αὐτοῦ ἐδείχθη εἶναι ἡ οὐσία αὐτοῦ. Ἀλλ' οὐδὲ εἰ ἡ τοῦ πρώτου κινοῦντος ἐνέργεια ἀΐδιος, καὶ τὸ ἀποτέλεσμα αὐτοῦ ἀΐδιον ἀνάγκη εἶναι· ἐδείχθη γὰρ τὸν Θεὸν ἑκουσίως ἐνεργεῖν ἐν τῇ τῶν πραγμάτων παραγωγῇ, οὐκ οὔσης ἑτέρας τινὸς ἐνεργείας μέσης, ὡς ἐν ἡμῖν ἡ τῆς κινητικῆς δυνάμεως ἐνέργεια μέση ἐστὶ τῆς ἐνεργείας τῆς θελήσεως καὶ τοῦ ἀποτελέσματος· ἀλλ' ἀνάγκη τὸ νοεῖν καὶ τὸ θέλειν

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

αὐτοῦ εἶναι τὸ ποιεῖν αὐτοῦ· τὸ δ' ἀποτέλεσμα τῷ νῷ καὶ τῇ θελήσει ἕπεται, κατὰ τὸν ἀφορισμὸν τοῦ νοῦ καὶ τῆς θελήσεως τὴν ἐξουσίαν· ὥσπερ δὲ διὰ τοῦ νοῦ ἡ τῆς πράξεως ποίησις ἀφορίζεται καὶ πᾶσα ἄλλη διάθεσις, οὕτε προγράφεται τούτῳ καὶ χρόνος· ἡ γὰρ τέχνη οὐ μόνον ὅπως τοιοῦτον γένοιτο ἀφορίζει, ἀλλ' ὅπως καὶ τότε εἴη, ὥσπερ ὁ ἰατρός, ὅπως τότε δοθείη τὸ πόμα. Οὐδὲν τοίνυν κωλύει λέγειν τὴν μὲν ἐνέργειαν τοῦ Θεοῦ ἐξ ἀϊδίου εἶναι, τὸ δ' ἀποτέλεσμα τότε ὡς ἐξ ἀϊδίου προώρισεν.

Τεθείσης δὲ τῆς αἰτίας ἱκανῆς, ἕπεται καὶ τὸ ἀποτέλεσμα, οὐκ ἀλλότριον μέντοι τῆς αἰτίας· ἴδιον δὲ τῆς θελήσεως ἀποτέλεσμα, ἵν' ᾖ τοῦτο, ὅπερ ἡ θέλησις θέλει· εἰ δέ τι ἕτερον ἦν, ἀλλότριον τῆς αἰτίας τὸ ἀποτέλεσμα· ἡ δὲ θέλησις ὡς θέλει τόδε εἶναι τοιοῦτον, οὕτω θέλει εἶναι τόδε, καὶ τότε. Ὡς οὖν τὸ ἀποτέλεσμα τοῦ φύσει ποιοῦντος ἕπεται τῷ εἶναι τοῦ ποιοῦντος ἐὰν ᾖ ἱκανόν, οὕτω τὸ τοῦ ποιοῦντος κατὰ θέλησιν ἕπεται τῷ τῆς προθέσεως τρόπῳ.

Ποιεῖ δὲ ὁ Θεὸς οὔτε ἕνεκα τῆς ἑαυτοῦ βελτιώσεως, οὔτε ὥστε τοῦ τέλους τοῦ ἔργου τυχεῖν· ποιεῖ γὰρ ἕνεκα τῆς αὐτοῦ ἀγαθότητος, ἥτις ἐστὶν αὐτός, ὡς ἐδείχθη. Ἀλλὰ ποιεῖ ἕνεκα τοῦ τέλους, καθόσον παράγεται τὸ ἀποτέλεσμα πρὸς τὴν τοῦ τέλους μετοχὴν ἐν τῷ ἀποτελέσματι. Ἐν τῷ παράγειν τοίνυν ἕνεκα τοῦ τέλους τὰ πράγματα οὐ δεῖ θεωρεῖν τὴν ἁπλῆν σχέσιν τοῦ τέλους πρὸς τὸν ποιοῦντα ὡς λόγον ἀϊδίου ἔργου, ἀλλὰ μᾶλλον δεῖ θεωρεῖν τὴν σχέσιν τοῦ τέλους πρὸς τὸ ἀποτέλεσμα, | ὅπερ f. 46
τοῦ τέλους εἵνεκα γίνεται, ἵν' οὕτω παράγηται, ὅπως ἂν ἁρμοδιώτερον τάττοιτο πρὸς τὸ τέλος· ὅθεν ἐκ τοῦ τὸ τέλος μονοειδῶς ἔχειν πρὸς τὸν ποιοῦντα οὐ δύναται συμπεραίνεσθαι τὸ ἀποτέλεσμα ἀΐδιον εἶναι.

Εἰ δὲ καὶ τῇ θείᾳ θελήσει προσῆκον ἦν πρὸς μετοχὴν τῆς οἰκείας ἀγαθότητος, παραγούσῃ τὰ κτίσματα, ποιεῖν, ὅπως ἐκεῖνα τὴν θείαν ἀγαθότητα παριστάνωσιν ἐν ἑαυτοῖς, ἀλλ' οὐκ ἀνάγκη ἦν τῷ τῆς ἰσότητος τρόπῳ παριστάνειν αὐτήν, ὥσπερ τὰ συνώνυμα ἀποτελέσματα τὴν ἰδίαν παριστάνουσιν αἰτίαν, ὥστ' ἀναγκαῖον εἶναι ἐντεῦθεν αὐτῆς ἀπείρου θελήσεως ἀΐδια παράγεσθαι ἀποτελέσματα, ἀλλ' ὡς τὸ ὑπερέχον ἐν τῷ ὑπερεχομένῳ ὁρᾶται. Ἡ δὲ ὑπεροχὴ τῆς θείας θελήσεως πρὸς τὰ κτίσματα, ὅτι αὐτόν τε ἔχουσι δημιουργὸν τοῦ εἶναι, καὶ ὅτι ἡ δύναμις αὐτοῦ οὐ δουλεύει τῇ τούτου παραγωγῇ, ὡς ἡ φύσις πρὸς τὰ φυσικά, καὶ κατὰ τὸ ἀκόλουθον, ὅτι ἔστι θελήσει ποιῶν καὶ νοῶν.

## XXXVI.

Ἡ δὲ ἐν τοῖς κτίσμασιν εὑρισκομένη ἀνάγκη τοῦ εἶναι τάξεως ἐστὶν ἀνάγκη, ἥτις οὐκ ἀναγκάζει ἀεὶ εἶναι τοῦτο, ᾧ τοιαύτη ἔνεστι ἀνάγκη· οὐ γὰρ ἕπεται τῇ οὐσίᾳ τοῦ οὐρανοῦ ἡ ἀνάγκη· τῆς γὰρ οὐσίας αὐτοῦ ἤδη ἐν τῷ εἶναι ὑφεστώσης, εἰσάγει τὴν τοῦ μὴ εἶναι ἀδυναμίαν ἡ τοι-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

αὐτὴ ἀνάγκη, οὐ ποιεῖ δὲ τὸν οὐρανὸν ἀδύνατον μὴ εἶναι ἐν τῇ θεωρίᾳ τῇ περὶ τῆς παραγωγῆς τῆς οὐσίας αὐτοῦ.

Καὶ ὁ σκοπὸς ὁμοίως τῶν φύσει ποιούντων πρὸς τὴν ἀϊδιότητα τῶν εἰδῶν ἤδη παρηγμένα τὰ φύσει ποιοῦντα προϋποτίθησιν· ὅθεν οὐκ ἔχει τόπον ἡ τοιαύτη ἀπόδειξις, εἰ μὴ ἐν τοῖς ἤδη παρηγμένοις φυσικοῖς πράγμασιν, οὐ μέντοι ὅταν περὶ τῆς τῶν πραγμάτων παραγωγῆς ἡ θεωρία ὑπάρχῃ.

Τὸ δὲ τὴν κίνησιν εἶναι ἀΐδιον καὶ τὸν χρόνον οὐ συγχωροῦμεν οὕτω δηλονότι, ὥστε μὴ ἔχειν ἀρχήν, ἀλλὰ τὸ πρῶτον νῦν τοῦ χρόνου ἀρχὴν εἶναι τοῦ μέλλοντος λέγομεν καὶ τέλος οὐδενὸς παρελθόντος· καὶ οὐκ ἐναντιοῦται τῇ τοῦ χρόνου διαδοχῇ τὸ τίθεσθαι ἐν αὐτῇ τὶ νῦν ἀρχὴν καὶ οὐ τέλος, καθὸ καὶ ἡ γραμμή, ἐν ᾗ τίθεται τὶ σημεῖον ἀρχὴ καὶ οὐ τέλος, ἑστῶσά ἐστι καὶ οὐ ῥυϊσκομένη, ἐπεὶ καὶ ἐν μερικῇ τινι κινήσει, ἥτις οὐκ
f. 46v ἔστιν ἑστῶσα ἀλλὰ ῥυϊσκομένη, ὁρισθῆναί τι δύναται ὡς ἀρχὴ | κινήσεως μόνον. Καὶ οὐχ ὡς τέλος· ἄλλως γὰρ πᾶσα κίνησις ἦν ἂν ἀΐδιος, ὅπερ ἀδύνατον.

## XXXVII.

Ἡ δὲ κοινὴ τῶν φιλοσόφων θέσις περὶ τοῦ μηδὲν ἐκ μηδενὸς γίνεσθαι ἀληθεύει κατ᾽ ἐκεῖνο τὸ γίνεσθαι, ὅπερ αὐτοὶ ἐθεώρουν, μερικῶς τὰς τῶν πραγμάτων γενέσεις ἐπισκεπτόμενοι, καὶ οὔπω κατανοῆσαι δυνηθέντες τὴν ἐκ μιᾶς πρώτης αἰτίας ὅλου τοῦ αἰτιατοῦ ὄντος πρόοδον· ἐν ταύτῃ δὲ τῇ προόδῳ οὐ δυνατὸν γίνεσθαί τι ἔκ τινος προϋποκειμένου· οὐ γὰρ ἂν ἦν ὅλου τοῦ αἰτιατοῦ ὄντος ποίησις.

Οὕτω τοίνυν ἐκδηλότατα φαίνεται μηδὲν κωλύειν τὸν κόσμον μὴ ἀεὶ εἶναι, ὅπερ ἡ καθολικὴ πίστις ἐν πρώτῳ τῆς Γενέσεως ὑποτίθησιν· „Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν“· καὶ ἐν ὀγδόῳ τῶν Παροιμιῶν ἐκ τοῦ Θεοῦ λέγεται· „Πρὸ τοῦ (τι) γενέσθαι τι ἐξ ἀρχῆς“, καὶ τὰ λοιπά.

## XXXVIII.

Ἐπὶ τούτοις προσέκειντο λόγοι, δι᾽ ὧν τινες πειρῶνται δεικνύναι τὸν κόσμον μὴ εἶναι ἀΐδιον, καὶ λύσεις τῶν τοιούτων λόγων, διὰ τὸ μὴ συμπεραίνειν ἐξ ἀνάγκης, εἰ καὶ τὸ ἔνδοξον ἔχουσιν, ἵνα μὴ ἡ καθολικὴ πίστις δοκῇ κεναῖς ἀποδείξεσιν ἐπερείδεσθαι καὶ οὐ μᾶλλον τῇ τοῦ Θεοῦ λαμπροτάτῃ διδασκαλίᾳ.

## XXXIX. — Ὅτι οὐκ ἐκ ταὐτομάτου ἡ διάκρισις τῶν πραγμάτων.

Ἐπεὶ γὰρ ἡ ὕλη ἀρχὴ καὶ αἰτία τῶν τυχηρῶν, ἐν τοῖς ἐξ ὕλης γενομένοις δύναται εἶναι τὸ αὐτόματον· ἡ δὲ πρώτη τῶν ὄντων εἰς τὸ εἶναι

---

11 *τίθεται*: *τίθησι*? A  24 Gen. 1, 1  26 Prov. 8, 22

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

παραγωγὴ οὐκ ἐξ ὕλης εἶναι ἐδείχθη· ἡ δὲ παραγωγὴ ἐκείνη μετὰ διακρίσεως ἦν. Ἀδύνατον ἄρα ἦν ἐκ ταὐτομάτου γενέσθαι τὴν διάκρισιν τῶν πραγμάτων.

Ἔτι, ἡ καθαυτὴν αἰτία προτέρα τῆς κατὰ συμβεβηκός· εἰ οὖν τὰ ὕστερα ἀπ' αἰτίας εἰσὶν ὡρισμένης καὶ καθ' αὑτὴν οὔσης, ἄτοπόν ἐστι λέγειν τὰ πρότερα ἀπ' αἰτίας εἶναι κατὰ συμβεβηκὸς καὶ ἀορίστου. Ἡ δὲ τῶν πραγμάτων διάκρισις φύσει προηγεῖται τῶν κινήσεων καὶ τῶν ἐνεργειῶν τῶν πραγμάτων· αἱ γὰρ ὡρισμέναι ἐνέργειαι καὶ κινήσεις τῶν ὡρισμένων καὶ διακεκεριμένων πραγμάτων εἰσίν· αἱ δὲ τῶν πραγμάτων ἐνέργειαι καὶ κινήσεις ἐκ τῶν καθαυτὴν αἰτιῶν καὶ ὡρισμένων εἰσίν, ἐπειδὴ εὑρίσκονται ἐκ τῶν ἰδίων αἰτιῶν προιόντα ἢ ἀεὶ ἢ ὡς ἐν πλείοσιν· καὶ ἡ τῶν πραγμάτων ἄρα διάκρισις ἀπ' αἰτίας ἐστὶ καθ' αὑτὴν καὶ ὡρισμένης, οὐκ ἐξ αὐτομάτου, ἤγουν κατὰ συμβεβηκὸς καὶ ἀορίστου.

Ἔτι, τὸ διὰ νοῦ ἢ θελήσεως ποιοῦν τὸ εἶδος σκοπεῖ τοῦ ποιουμένου· αὐτὴ δὲ ἡ τῶν | κτισμάτων ὁλότης τὸν Θεὸν ἔχει δημιουργὸν νῷ καὶ f. 47 θελήσει ποιοῦντα καὶ ἀνενδεῆ τῇ δυνάμει, ὥστε ἐξαρκεῖν αὐτὴν τῷ αὐτοῦ σκοπῷ καθάπαξ ἄπειρον οὖσαν· ἀνάγκη ἄρα τὸν Θεὸν τὸ τοῦ παντὸς εἶδός τε καὶ τέλος θέλειν καὶ σκοπεῖν· οὐκ ἄρα ἐκ ταὐτομάτου ἦν· τὸ γὰρ ἐξ αὐτομάτου παρὰ τὸν σκοπόν ἐστι τοῦ ποιοῦντος. Ἀλλὰ τὸ τοῦ παντὸς εἶδος ἐν τῇ διακρίσει καὶ τάξει τῶν αὐτοῦ μερῶν συνέστηκεν· οὐκ ἄρα ἐκ ταὐτομάτου, ἡ τούτων διάκρισις.

Ταύτην τὴν ἀλήθειαν καὶ ἡ Γραφὴ βεβαιοῖ ὅπου φησί· „Καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ τοῦ σκότους", ὡσαύτως καὶ περὶ τῶν ἄλλων, ὥστε οὐ μόνον ἡ δημιουργία, ἀλλὰ καὶ ἡ διάκρισις ἐκ τοῦ Θεοῦ δείκνυται ἐκεῖ, οὐδ' ἐκ ταὐτομάτου, ἀλλ' ὥσπερ ἀγαθὸν καὶ ἄριστον τοῦ παντός· ὅθεν ὑποτάττεται· „Εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησεν, καὶ ἰδοὺ καλὰ λίαν". Ἀποσκορακίζεται δὲ καὶ ἡ τῶν παλαιῶν φυσικῶν δόξα, ὑποτιθεμένων αἰτίαν μίαν, τὴν ὑλικήν, ἐξ ἧς γίνεσθαι πάντα μανότητι καὶ πυκνότητι, τυχαίως καὶ οὐκ ἐκ σκοποῦ τινος· ὁμοίως καὶ ἡ Λευκίππου καὶ Δημοκρίτου τὰς ἀτόμους τιθέντων ἀρχὰς ὑλικάς, ὧν ἐκ τῆς τυχαίας συνδρομῆς ποικίλλεσθαι τὰ πράγματα, οὐκ ἔκ τινος ποιούσης αἰτίας· οἷς πᾶσιν εἵπετο ἀπὸ τύχης εἶναι τὴν τῶν πραγμάτων διάκρισιν.

## XL. — Ὅτι τῆς διακρίσεως οὐ πρώτη αἰτία ἡ ὕλη.

Ἐκ γὰρ τῆς ὕλης οὐδὲν ὡρισμένον προϊέναι δύναται εἰ μὴ αὐτομάτως, πρὸς πολλὰ δυνάμει οὔσης· ἀλλ' ἡ τῶν πραγμάτων διάκρισις οὐκ ἐξ αὐτομάτου· οὐκ ἄρα διὰ τὴν τῆς ὕλης διαφοράν ἐστιν ὡς πρώτην αἰτίαν.

Ἔτι, τὰ ἐκ τοῦ σκοποῦ τοῦ ποιοῦντος ὄντα οὐκ εἰσὶ διὰ τὴν ὕλην

22 Gen. 1, 4 26 Gen. 1, 31

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὡς πρώτην αἰτίαν· ἡ γὰρ ποιητικὴ αἰτία πρώτη τῆς ὕλης ἐν τῷ ποιεῖν, ὅτι ἡ ὕλη οὐκ ἔστιν ἐνεργείᾳ αἰτία εἰ μὴ καθόσον ὑπὸ τοῦ ποιοῦντος κινεῖται· ὅθεν εἴ τι εἰς τὴν ὕλην ὡς εἰς πρώτην αἰτίαν ἀνάγεται, παρὰ τὸν σκοπὸν τοῦ ποιοῦντός ἐστιν, ὡς τὰ πηρώματα· τὸ δὲ εἶδος ἔστιν ἐκ τοῦ σκοποῦ τοῦ ποιοῦντος, εἴπερ τὸ ποιοῦν ὅμοιον ἑαυτῷ ποιεῖ κατὰ τὸ εἶδος· καὶ εἰ πολλάκις ἐνδεῖ, τοῦτ' ἔστιν ἐκ ταὐτομάτου διὰ τὴν ὕλην· τὰ εἴδη ἄρα οὐχ ἕπονται τῇ διαθέσει τῆς ὕλης ὡς πρώτης αἰτίας, ἀλλὰ τὸ ἀνάπαλιν, αἱ ὕλαι οὕτω διατίθηνται, ὥστ' εἶναι τοιαῦτα εἴδη· ἡ δὲ διά-
f. 47v κρισις τῶν ὄντων | κατὰ τὰ εἴδη καὶ τὰς μορφάς ἐστιν· οὐκ ἄρα διὰ τὴν τῆς ὕλης διαφορὰν ὡς διὰ πρώτην αἰτίαν ἡ τῶν πραγμάτων διάκρισις.

Ἔτι, πῶς νοῦς ἕνεκα τοῦ ἀγαθοῦ ποιῶν οὐ ποιεῖ τὸ βέλτιον τοῦ χείρονος ἕνεκα, ἀλλὰ τὸ ἀνάπαλιν· τὸ δὲ εἶδος τιμιώτερον τῆς ὕλης, τελειότης ὂν καὶ ἐνέργεια αὐτῆς. Οὐκ ἄρα ἡ τῶν εἰδῶν ἐν τοῖς οὖσι διάκρισις διὰ τὴν ὕλην ἔστιν, ἀλλὰ τοὐναντίον, τοῦ Θεοῦ πάντα ποιοῦντος κατὰ τὸν ἐνεργείᾳ νοῦν τοῦ ἀρίστου ἕνεκα.

## XLI. — Ὅτι οὐκ ἔστι διὰ τὴν ἐναντιότητα τῶν ποιητικῶν αἰτίων.

Ἢ γὰρ τεταγμένα εἰσὶ τὰ διάφορα ἐκεῖνα ποιητικά, καὶ ἀνάγκη τῆς τάξεως αὐτῶν μίαν αἰτίαν εἶναι, ἥτις καὶ τῆς τῶν πραγμάτων τῶν γινομένων ἐξ αὐτῆς διακρίσεως αἰτία πρώτη ἐστίν· ἢ οὐκ εἰσὶ πρὸς ἄλληλα τεταγμένα, καὶ ἔσται κατὰ συμβεβηκὸς ἡ συνδρομὴ αὐτῶν πρὸς τὴν τῶν παραχθησομένων πραγμάτων διαφοράν, καὶ ἔσται αὖ ἐξ αὐτομάτου ἡ διάκρισις τῶν πραγμάτων, ὅπερ ἐλήλεγκται.

Ἔτι, τὰ ἔχοντα αἰτίαν τῆς ἑαυτῶν διαφορᾶς τὸ πρῶτον ὂν καὶ πρῶτον αἴτιον, πῶς ἂν δύναιτο πρώτη αἰτία εἶναι τῆς τῶν ἐξ αὐτῶν γινομένων διαφορᾶς;

Ἐπεὶ δὲ πολλοὶ τιθέασι τὰ μὲν ἀγαθὰ πάντα ἐκ τῆς τοῦ ἀγαθοῦ ἀρχῆς προϊέναι, τὰ δὲ κακὰ ἐκ τοῦ κακοῦ, καὶ τοῦτο δεικτέον ἀδύνατον. Ἀδύνατον γὰρ πάντων τῶν κακῶν μίαν εἶναι ἀρχὴν πρώτην, ἥτις ἂν εἴη καθαυτὴν καὶ οὐσιωδῶς κακή· πᾶν γὰρ τὸ ὂν καθό ἐστιν ὄν, ἀνάγκη ἀγαθὸν εἶναι.

Ἔτι, πᾶν τὸ ποιοῦν, ἐνεργείᾳ ὄν, τέλειόν ἐστιν· τέλειον δὲ ὄν, ἀγαθόν ἐστιν· πᾶν ἄρα ποιοῦν, ᾗ τοιοῦτον, ἀγαθόν ἐστιν, καὶ εἴ τι καθαυτὸ εἴη κακόν, οὐκ ἂν δύναιτο ποιοῦν εἶναι. Οὐκ ἄρα μία ἐστὶ πρώτη καὶ καθ' αὑτὴν ἀρχὴ τῶν κακῶν, ἵνα ὦσι δύο ἐναντίαι πάντων ἀρχαί. Ἀλλὰ ἡ πρώτη πάντων ἀρχή ἐστι τὸ ἓν καὶ πρῶτον ἀγαθόν, οὗ τοῖς ἀποτελέσμασιν ἕπεται κατὰ συμβεβηκὸς τὸ κακόν· ὃ δείκνυνται καὶ τῇ Γραφῇ· ἐν γὰρ τῷ Ἡσαΐᾳ λέγεται· „Ἐγὼ Κύριος, καὶ οὐκ ἄλλος Θεός, ποιῶν φῶς

39 Is. 45, 6-7

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ κτίζων σκότος, ποιῶν εἰρήνην καὶ κτίζων κακά“· καὶ ἐν τῷ Ἐκκλησιαστῇ· „Ἀγαθὰ καὶ κακά, πενία καὶ πλοῦτος παρὰ Κυρίου“. Κτίζει δὲ ὁ Κύριος τὰ καθ᾿ αὑτὰ μὲν ὄντα ἀγαθά, βλαβερὰ δὲ τοῖς ἄλλοις, ὥσπερ ὁ λύκος, κατὰ τὸ εἶδος αὐτοῦ ἀγαθόν τι τῇ φύσει ὄν, τῷ προβάτῳ κακός ἐστιν, | καὶ τὸ πῦρ ὁμοίως τῷ ὕδατι, καθόσον ἐστὶ φθαρτικόν· ὡσαύτως f. 48 καὶ ἐν ἀνθρώποις αἰτία ἐστὶ τῶν κακῶν, ἃ τιμωρίαι λέγονται, ὡς ἐν τῷ Ἀμὼς λέγεται· „Εἰ ἔστι κακὸν ἐν πόλει ὃ Κύριος οὐκ ἐποίησε“. Κτίζειν δὲ λέγεται τὰ κακά, ὅταν τὰ καθαυτὰ ἀγαθὰ κτισθέντα ἡμῖν τοῖς κακῶς ποιοῦσιν εἰς τιμωρίαν κατασκευάζῃ. Ἐντεῦθεν ἀποσκορακίζεται καὶ ἡ πλάνη τῶν τιθέντων δύο ἀρχὰς ἐναντίας, ὧν ἀρχὴ Ἐμπεδοκλῆς, „φιλίαν μὲν γενέσεως αἰτίαν πρώτην, φθορᾶς δὲ τὸ νεῖκος“, εἰπών· καὶ Πυθαγόρας, δύο πρώτας ἀρχὰς ὑπέθετο τὸ ἀγαθὸν καὶ κακόν, οὐ μέντοι ποιητικάς, ἀλλ᾿ εἰδικάς· τινὲς δὲ ὕστερον διάστροφοι τῇ χριστιανικῇ διδασκαλίᾳ τὴν πλάνην ταύτην συζεῦξαι ἐτόλμησαν, ὡς Μαρκίων ὁ πρῶτος, καὶ Κέρδων, καὶ ἔσχατοι, οἱ Μανιχαῖοι, οἳ τὴν αἵρεσιν ταύτην μάλιστα ἐπὶ πάντας ἐξέχεαν.

## XLII. — Ὅτι οὐκ αἴτιον τῆς διακρίσεως ἡ τῶν δευτέρων ποιούντων τάξις.

Γεγόνασι γάρ τινες δοξάσαντες, ὅτι ὁ Θεὸς εἷς καὶ ἁπλοῦς ὤν, ἓν ἀποτέλεσμα ποιεῖ μόνον, ὅπερ ἐστὶν ἡ πρώτως κτισθεῖσα οὐσία· αὕτη δὲ τῇ ἰδίᾳ αἰτίᾳ οὐ δυναμένη ἐξομοιοῦσθαι καὶ διὰ τοῦτο ἔχουσά τι τοῦ δυνάμει μεμιγμένον, ἔχει τινὰ πολλαπλότητα, καὶ οὕτως ἐξ αὐτῆς πλῆθός τι πρόεισιν, καὶ οὕτω τῶν ἀποτελεσμάτων τῆς ἁπλότητος τῶν αἰτίων ἀπολειπομένων καὶ πληθυνομένων, ἡ διαφορὰ τῶν πράγματων ἀποτελεῖται, ἐξ ὧν τὸ ὅλον συνίσταται. Αὕτη δὲ ἡ θέσις πρῶτον μὲν εἰσάγει τὴν ἐκ ταὐτομάτου διάκρισιν· τὰ γὰρ ἐκ συνδρομῆς προϊόντα διαφόρων αἰτιῶν, καὶ οὐκ ἐκ μιᾶς αἰτίας τινὸς ὡρισμένης, ἐξ αὐτομάτου φαμὲν εἶναι· ἔπειτα κωφὸν καὶ ἀνόητον ἀνάγειν τὸ ἐν τοῖς πράγμασιν ἄριστον, τὴν διάκρισιν δηλαδὴ καὶ τὴν τάξιν, ὥσπερ εἰς αἰτίαν, τὴν τῶν πραγμάτων ἔνδειαν, τουτέστι τὴν ἔλλειψιν τῶν δευτέρων αἰτίων ἀπὸ τῆς ἁπλότητος τῆς πρώτης αἰτίας.

Ἔτι, πολλά εἰσιν, ἃ οὐ δύνανται προάγεσθαι εἰς τὸ εἶναι εἰ μὴ κατὰ δημιουργίαν, ὡς αἱ νοηταὶ οὐσίαι καὶ τὰ οὐράνια σώματα, ἐν οἷς οὐκ ἔστιν ὕλης καὶ εἴδους σύνθεσις, οὔτε ὕλης ἐναντιότης· ὡσαύτως καὶ ἡ πρώτη ὕλη. Ἐπεὶ τοίνυν ὁ Θεὸς μόνος δημιουργεῖν δύναται, ἀνάγκη τοὐλάχιστον ταῦτα, ἃ ἀγένητα εἶναι δεῖ, ἀμέσως ἐκ τοῦ Θεοῦ δημιουργηθῆναι καὶ διακριθῆναι.

Ἐντεῦθεν ἐστὶ τὸ ἐν τῷ πρώτῳ τῆς Γενέσεως· „Ἐν ἀρχῇ ἐποίησεν f. 48v

---

2 Eccli. 11, 14 7 Am. 3, 6 9 *ἀποσκορρακίζεται* A, et ailleurs 38 Gen. 1, 1

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν". Ἀποσκορακίζεται δὲ καὶ ἡ δόξα τοῦ Ἀβινσέννου, ὅς ἔλεγε τὸν Θεὸν ἑαυτὸν νοοῦντα προάγειν μίαν νόησιν πρώτην, ἐν ᾗ ἤδη ἐστὶ δύναμις καὶ ἐνέργεια, ἥτις καθόσον νοεῖ τὸν Θεόν, προάγει νόησιν δευτέραν, καθὸ δὲ νοεῖ ἑαυτήν, προάγει τὴν ψυχὴν τοῦ παντός, καθὸ δὲ νοεῖ ἑαυτὴν ἐν δυνάμει οὖσαν, προάγει τὴν οὐσίαν τῆς πρώτης σφαίρας, κἀντεῦθεν προϊὼν τὴν διαφορὰν τῶν ὄντων συνίστησι διὰ τῶν δευτέρων αἰτίων. Καὶ Σίμων δὲ ὁ Μάγος τὸν Θεὸν ἔλεγε τοὺς ἀγγέλους μόνους ποιῆσαι, ἐκείνους δὲ ἀρξαμένους τὸν κόσμον παραγαγεῖν.

## XLIII. — Ὅτι ἡ διάκρισις οὐ διά τινος τῶν δευτέρων αἰτίων.

Ἄλλοι ἐδόξασαν τὸν Θεὸν δημιουργῆσαι πάντων τὴν ὕλην, δι' ἀγγέλου δέ τινος διακριθῆναι ταύτην κατὰ διάφορα εἴδη· ἀλλ' ἀδύνατον· εἰ γὰρ τὸ σύνθετον κυρίως ἔστι, καὶ αὐτοῦ ἐστι τὸ γίνεσθαι, οὐ τῆς ὕλης ἄνευ τοῦ εἴδους· οὐκ ἄρα ἔστι τι ποιοῦν τὴν ὕλην, καὶ ἄλλο εἰσάγον τὸ εἶδος, οὔτε δυνατὸν τὴν πρώτην εἰσαγωγὴν τῶν εἰδῶν εἰς τὴν ὕλην ἀπό τινος τὸ εἶδος μόνον ποιοῦντος ὑπάρχειν, ἀλλ' ἐκ τοῦ δημιουργοῦ τοῦ συνθέτου παντός· ὡς γὰρ τὸ εἶναι ἐν τοῖς ἀποτελέσμασι πρῶτόν ἐστιν, οὕτω καὶ τῇ πρώτῃ αἰτίᾳ προσήκει ὡς ἴδιον ἀποτέλεσμα· τὸ δὲ εἶναι κατὰ τὸ εἶδος ἔστι καὶ οὐ κατὰ τὴν ὕλην· τὴν πρώτην ἄρα τῶν εἰδῶν αἰτίαν μάλιστα ἀποδιδόναι δεῖ τῇ πρώτῃ αἰτίᾳ.

Ἄλλως τε καὶ πάντων σκοπούντων ὁμοιοῦσθαι τῷ Θεῷ, ὅς ἐστιν ἐνέργεια εἰλικρινὴς τῷ ἔχειν εἴδη οἷς ἐνεργείᾳ γίνονται, καὶ ὧν ἐφιέμενα τῆς θείας ἐφίεσθαι λέγονται τελειότητος ἢ ὁμοιότητος, ἀνόητόν ἐστι λέγειν τὴν τῶν ὄντων εἰδοποίησιν ἄλλῳ προσήκειν ἢ τῷ πάντων δημιουργῷ Θεῷ.

## XLIV. — Ὅτι οὐδ' ἐκ τῆς τῶν ἄθλων ἢ τιμωριῶν διαφορᾶς.

Τοῦτο δὲ Ὠριγένους ἐστὶ δόξα, ὅς ἐν τῷ Περὶ Ἀρχῶν βουλόμενος ἀντιστῆναι τοῖς παλαιοῖς αἱρετικοῖς, οἵτινες οὐδεμίαν διάκρισιν ἐν τοῖς κτιστοῖς πράγμασιν ἀρετῆς ἢ κακίας προηγησαμένης ἆθλον ἐκ τῆς προνοίας γίνεσθαι συνεχώρουν, ἠναγκάσθη τιθέναι πᾶσαν τὴν ἐν τοῖς οὖσι διαφορὰν ἐκ τῆς τῶν προαιρέσεων διαφορᾶς κατὰ τὴν θείαν δικαιοσύνην προελθεῖν· γενηθέντων γάρ φησιν ἴσων ἐκ τοῦ Θεοῦ πάντων, εἶτα κατὰ τὸ αὐτὸ προαίρετον διαφόρως κινηθέντων, διαφόρους βαθμοὺς ἐν ταῖς ἀσωμάτοις οὐσίαις ἐκ τῆς δικαιοσύνης τῆς θείας συστῆναι, ὥστε τινὰς μὲν ἀγγέλους
f. 49 γενέσθαι κατὰ διαφόρους τάξεις, τινὰς δὲ ἀνθρωπίνας ψυχὰς | κατὰ διαφόρους ἕξεις, τινὰς δὲ δαίμονας ἐν ἕξεσι καὶ αὐτοὺς διαφόροις. Καὶ διὰ τὴν διαφορὰν τῶν λογικῶν κτισμάτων ἔλεγε καὶ τὴν διαφορὰν τῶν σωματικῶν ἐνστήσασθαι τὸν Θεόν, ὥστε τοῖς τιμιωτέροις σώμασι τιμιωτέρας ἀσωμάτους οὐσίας συνάπτεσθαι, ἵνα ἡ σωματικὴ κτίσις τῇ τῶν ἀσωμάτων οὐσιῶν διαφορᾷ διαφόροις ἄλλοις τρόποις δουλεύῃ. Αὕτη δὲ ἡ δόξα

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

φανερῶς ἐλέγχεται ψευδὴς οὖσα· ὅσῳ γάρ τι βέλτιόν ἐστιν ἐν τοῖς ἀποτελέσμασι, τοσοῦτόν ἐστι πρότερον ἐν τῷ σκοπῷ τοῦ ποιοῦντος· ἄριστον δὲ ἐν τοῖς πράγμασιν ἡ τοῦ παντὸς τελειότης, ἐν τῇ τάξει τῶν διακεκριμένων συνισταμένη· ἡ τῶν πραγμάτων ἄρα διαφορὰ οὐκ ἐκ τῆς προαιρέσεως προελήλυθεν τῶν ὄντων τῆς διαφόρου, ἀλλὰ κατὰ προηγούμενον σκοπὸν τοῦ πρώτου ποιοῦντος.

Ἔτι, κατὰ συμβεβηκὸς ἂν ἦν οὕτως ἡ ἕνωσις τῆς ψυχῆς πρὸς τὸ σῶμα, καὶ οὕτως οὐκ ἂν ἦν ἓν εἶδος ὁ ἄνθρωπος· ἐκ γὰρ τῶν κατὰ συμβεβηκὸς ἑνουμένων οὐδὲν ἀνακύπτει εἶδος, ὥσπερ οὐδὲ ὁ λευκὸς ἄνθρωπος ἢ ἐνδεδυμένος ἓν εἶδος ἐστίν. Φαίνεται δὲ Ὠριγένης μὴ στοχασάμενος, ὡς ὅταν τι οὐκ ἐκ ὀφειλῆς ἀλλ' ἐλευθερίας διδῶμεν, οὐκ ἔστι τοῦτο κατὰ τῆς δικαιοσύνης εἰ καὶ ἄνισα δίδομεν, οὐδεμιᾶς διαφορᾶς λογισθείσης ἐν ταῖς ἀξίαις, ἐπεὶ ἡ ἀνταπόδοσις τοῖς μεμισθωμένοις ὀφείλεται· ὁ δὲ Θεός, ὡς ἐδείχθη, ἐξ οὐδενὸς ὀφειλομένου ἀλλ' ἐκ καθαρᾶς ἐλευθεριότητος τὰ ὄντα παρήγαγεν· ὅθεν ἡ τῶν πραγμάτων διαφορὰ τὴν διαφορὰν τῆς ἀξίας οὐ προϋποτίθησιν. Ἀλλὰ καὶ ὁ πάνσοφος πάντων ποιητὴς Θεὸς οὐκ ἂν ἐποίησε τὸ πᾶν ἄριστον ἐν τῷ ἑαυτοῦ γένει, εἰ τὰ μέρη αὐτοῦ πάντα ἴσα ἐποίει, ἐπεὶ πολλῶν βαθμῶν ἀγαθότητος τὸ πᾶν ἐστέρητο ἄν, καὶ οὕτως ἦν ἀτελές· τὸ δὲ τοῦ παντὸς ἀγαθὸν ὁ ποιητὴς προὔργου ὡς βέλτιον ὂν καὶ προὐργιαίτερον σκοπεῖ.

## XLV. — Τίς ἂν εἴη κατ' ἀλήθειαν ἡ πρώτη αἰτία τῆς διακρίσεως.

Ἀλλὰ τῷ ὑπὸ τοῦ ἄκρου τεχνίτου γεγονότι οὐκ ὤφειλεν ἐνδεῖν ἡ ἄκρα τελειότης· τὸ δὲ ἀγαθὸν τῆς τάξεως τῶν διαφόρων βέλτιόν ἐστι παντὸς τεταγμένου καθ' ἑαυτὸ ληφθέντος· ἔστι γὰρ εἰδικὸν τῇ παραθέσει τῶν μερικῶν, ὥσπερ τελειότης τοῦ παντὸς τῇ τῶν μερῶν παραθέσει. Οὐκ ἔδει τοίνυν τὸ τῆς τάξεως ἀγαθὸν τοῦ θείου ἔργου ἀπεῖναι· τοῦτο δὲ οὐκ ἂν ἠδύνατο εἶναι, εἰ ἡ διαφορὰ καὶ ἀνισότης τῶν κτισμάτων οὐκ ἦν. Διὰ τοῦτο ἡ διαφορὰ καὶ ἀνισότης τῶν ὄντων οὔτε ἐξ | αὐτομάτου ἐστίν, οὔτε f. 49v
ἐκ τῆς διαφορᾶς τῆς ὕλης, οὔτ' ἐξ ἐπεισαγωγῆς αἰτίων τινῶν ἢ προαιρέσεων, ἀλλ' ἐκ τοῦ ἰδίου σκοποῦ τοῦ Θεοῦ, τελειότητα τῇ κτίσει θελήσαντος δοῦναι, οἵαν αὐτὴν ἔχειν ἦν δυνατόν· ἄλλως τε τῆς τελείας τοῦ Θεοῦ ὁμοιότητος οὐκ ἂν ἠδύναντο τυχεῖν τὰ κτιστὰ καθ' ἓν μόνον εἶδος· τοῦτο δὲ σκοπὸς ἦν τοῦ δημιουργοῦ, ἐνθεῖναι τοῖς ἀποτελέσμασι τὴν ἑαυτοῦ ὁμοιότητα, καὶ τελειότατος ὤν, τέλειον ποιῆσαι τὸ πᾶν. Ἔδει τοίνυν πλῆθος καὶ ποικιλίαν εἰδῶν ἐν τοῖς οὖσιν εἶναι, ἵνα δι' αὐτῶν ἡ θεία ὁμοιότης μετασχεθῆναι αὐτοῖς δυνηθῇ, καὶ τελειωθῶσιν ἐν τῇ τοῦ Θεοῦ ὁμοιότητι κατὰ τὸν αὐτῶν τρόπον.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## XLVI. — Ὅτι τῇ τελειώσει τοῦ παντὸς ἥρμοζεν εἶναι κτίσματα νοερά.

Ἡ γὰρ δευτέρα τελειότης ἐν τοῖς πράγμασι τῇ πρώτῃ προστίθησιν. Τὸ μὲν οὖν εἶναι καὶ ἡ φύσις τοῦ πράγματος κατὰ τὴν πρώτην τελειότητα θεωρεῖται· ἡ δὲ ἐνέργεια κατὰ τὴν δευτέραν. Καὶ ἔδει πρὸς τὴν ὁλικὴν τοῦ παντὸς τελειότητα εἶναί τινα πρὸς τὸν Θεὸν ἐπιστρέφοντα κτίσματα οὐ μόνον κατὰ τὴν τῆς φύσεως ὁμοιότητα, ἀλλὰ καὶ κατὰ τὴν τῆς ἐνεργείας, ὃ ἀδύνατον ἦν, εἰ μὴ δι' ἐνεργείας νοῦ καὶ θελήσεως, ἐπεὶ οὐδ' αὐτὸς ὁ Θεὸς ἄλλως περὶ ἑαυτὸν ἐνέργειαν ἔχει.

Ἔτι, ὡς γεγένηται σώματα περιέχοντα τὰ ὑποδεέστερα, καὶ ἓν τὸ πάντα περιέχον, οὕτως ἔδει καὶ κτίσματα γενέσθαι νοερὰ τὰ σωματικὰ πάντα περιέχοντα οὐχ ἐκστάσει τελειότητος, ἀλλ' ἁπλῶς κατὰ τὸν νοητὸν τρόπον· τὸ γὰρ νοούμενον ἔστιν ἐν τῷ νοοῦντι κἀν τῇ νοητῇ τούτου ἐνεργείᾳ περιλαμβάνεται· καὶ ἐπὶ πᾶσι τὸν Θεὸν εἶναι, τὸν καὶ τὰ σωματικὰ καὶ τὰ ἀσώματα περιέχοντα ἐν ἑαυτῷ.

Ἔτι, ἵνα ἡ τοῦ Θεοῦ ὁμοιότης πᾶσι τοῖς δυνατοῖς τρόποις ᾖ ἐν τοῖς οὖσιν, ἐδέησε τὴν θείαν ἀγαθότητα πολυτρόπως μετασχεθῆναι, οὐ μόνον κατὰ τὸ εἶναι, ἀλλὰ καὶ τὸ γινώσκειν· μόνος δὲ ὁ νοῦς τὴν θείαν ἀγαθότητα γινώσκειν δύναται. Ἔδει τοίνυν εἶναι νοερὰ κτίσματα.

## XLVII. — Ὅτι αἱ νοεραὶ οὐσίαι θελητικαί εἰσιν.

Ὡς γὰρ ἐν τοῖς γνώσεως ἐστερημένοις ἡ φυσικὴ ἔνεστιν ἔφεσις, καὶ ἐν τοῖς αἰσθητικὴν ἔχουσι γνῶσιν ἡ αἰσθητικὴ ἔφεσις καὶ ζωτική, οὕτως ἐν τοῖς νοοῦσι δεῖ νοερὰν ἢ λογικὴν ἔφεσιν εἶναι, ἥτις λέγεται θέλησις, διὰ τὸ πᾶσιν ἔφεσιν ἐνεῖναι τινὰ τοῦ ἀγαθοῦ οἰκείως ἑκάστοις.

Ἔτι, αἱ νοεραὶ οὐσίαι, πρῶται οὖσαι ἐν τοῖς κτιστοῖς, ἑαυτὰς ἄγουσι
f. 50 πρὸς τὸ ἐνεργεῖν οὐχ ὥσπερ τὰ ἄλλα, ἅπερ ἄγονται τῇ | δυνάμει τῆς φύσεως, οἷον ἄψυχα καὶ φυτὰ καὶ ἄλογα, ἐφ' οἷς οὐ κεῖται ποιεῖν ἢ μὴ ποιεῖν· ἀλλὰ τὸ ἑαυτὰς ἄγειν ἴδιόν ἐστι τῆς θελήσεως, καθ' ἣν κύριαί εἰσι τῶν ἰδίων ἐνεργειῶν, ὡς ἐπ' αὐταῖς ὄντων τοῦ ποιεῖν τε καὶ μή.

Ἔτι, ἐν τοῖς ἔχουσι γνῶσιν ἡ γνωστικὴ δύναμις πρὸς τὴν ἐπιθυμητικὴν ἔχει ὡς κινητικὸν πρὸς κινητόν· τὸ γὰρ δι' αἰσθήσεως γνωσθὲν ἢ φαντασίας ἢ νοῦ κινεῖ τὴν νοερὰν ἔφεσιν, ἢ τὴν ζωτικήν· ἡ δὲ νοερὰ γνῶσις οὐχ ὁρίζεται πρός τινα, ἀλλὰ πάντων ἐστίν· καὶ ἡ ἔφεσις τοίνυν ἡ νοερὰ πρὸς πάντα φέρεται. Τοῦτο δέ ἐστιν ἴδιον θελήσεως· ἡ γὰρ θέλησις, κατὰ τὸν Φιλόσοφον ἐν τρίτῳ τῶν ἠθικῶν, καὶ δυνατῶν καὶ ἀδυνάτων ἐστίν.

## XLVIII. — Ὅτι αἱ νοεραὶ οὐσίαι αὐτεξούσιοι ἐν τῷ πράττειν.

Γνώσει γὰρ ποιοῦσι· τῇ δὲ νοερᾷ γνώσει καὶ κρίσις ἀκολουθεῖ περὶ τῶν πρακτέων. Ἐλευθερίαν δὲ ἔχουσι κρίσεως, ἐξουσίαν ἔχουσαι

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῆς ἑαυτῶν ἐνεργείας, ὡς δέδεικται· αὐτεξούσιοι ἄρα εἰσὶν ἐν τῷ πράττειν.

Ἔτι, τῆς ἐλευθερίας τοῦ κρίνειν στεροῦνται τινὰ ἢ ὡς οὐδεμίαν ἔχοντα γνῶσιν, οὐκοῦν οὐδὲ κρίσιν, ἤγουν ὡς λίθοι καὶ φυτά· ἢ ὡς ἔχοντα μὲν κρίσιν, πρός τι δὲ ὑπὸ τῆς φύσεως ὡρισμένον, ὡς φυσικῇ κρίσει κρίνει βλαπτικὸν τὸν λύκον τὸ πρόβατον, καὶ διὰ τοῦτο φεύγει· τὰ δὲ μὴ ὡρισμένην ἐφ' ἓν ἔχοντα κρίσιν, ἐλευθέρας εἰσὶ κρίσεως, ὡς τὰ νοερὰ πάντα. Ὁ γὰρ νοῦς οὐ μόνον τὸ μερικὸν ἀγαθὸν ἀλλὰ καὶ τὸ κοινὸν νοεῖ· ὅθεν ὁ νοῦς, τῷ νοηθέντι εἴδει κινῶν τὴν θέλησιν, εὑρίσκει αὐτὴν οὐχ ὡρισμένην ὑπὸ τῆς φύσεως εἰ μὴ πρὸς τὸ κοινὸν ἀγαθόν· ἀναλογεῖν γὰρ δεῖ τὸ κινοῦν καὶ κινούμενον. Ὅπερ ἂν τοίνυν αὐτῇ προσάγεται ὡς κατὰ τὸν λόγον τοῦ ἀγαθοῦ, δύναται πρὸς ἐκεῖνο ἀποκλίνειν, οὐδενὸς φυσικοῦ ὅρου κωλύοντος εἰς τὸ ἐναντίον· καὶ οὕτω πάντα τὰ νοερὰ ἐλευθέραν ἔχουσι θέλησιν ἐκ τῆς κρίσεως τοῦ νοῦ προϊούσης· ὅπερ ἐστὶν αὐτεξούσιον ἔχειν.

## XLIX. — Ὅτι ἡ νοερὰ οὐσία οὐκ ἔστι σῶμα.

Οὐδὲν γὰρ σῶμα δύναται ἑτέρου σώματος τὸ οὐσιῶδες εἶδος μεταλαβεῖν, μὴ φθορᾷ τὸ οἰκεῖον ἀποβαλόν· ὁ δὲ νοῦς οὐ φθείρεται, τελειοῦται μὲν οὖν, τὰ πάντων εἴδη λαμβάνων· τελειοῦται γὰρ τῷ νοεῖν, νοεῖ δὲ τὰ εἴδη ἔχων ἐν ἑαυτῷ τῶν νοουμένων.

Ἔτι, τὸ εἶδος ἐν ἑκάστῳ ἀρχή ἐστι | τοῦ ποιεῖν· διὸ καὶ ποιεῖ ἕκαστον f. 50v
κατὰ τὸ εἶδος αὐτοῦ. Εἰ τοίνυν ὁ νοῦς σῶμα εἴη, ἡ ἐνέργεια αὐτοῦ τῆς τῶν σωμάτων οὐχ ὑπερεκταθήσεται τάξεως· οὐκ ἄρα νοήσει εἰ μὴ τὰ σώματα, ὃ ψεῦδος· νοοῦμεν γὰρ πολλὰ μὴ ὄντα σώματα.

Ἔτι, σώματα δύο οὐ περιέχουσιν ἄλληλα, δύο δὲ νοῖ ἀλλήλους περιλαμβάνουσιν, ὅταν ὁ ἕτερος τὸν ἕτερον νοῇ.

Ἔτι, οὐδενὸς σώματος ἐνέργεια ἐπιστρέφει πρὸς τὸ ἐνεργοῦν· οὐδὲν γὰρ σῶμα ὑφ' ἑαυτοῦ κινεῖται εἰ μὴ κατὰ μέρος, ὡς τὸ μὲν αὐτοῦ κινοῦν εἶναι, τὸ δὲ κινούμενον· ὁ δὲ νοῦς ἐφ' ἑαυτὸν τῷ νοεῖν ἐπιστρέφει· νοεῖ γὰρ ἑαυτόν, καὶ καθ' ὅλον καὶ οὐ κατὰ μέρος.

Ἐντεῦθεν ἡ Γραφὴ τὰς νοερὰς οὐσίας πνεύματα ὀνομάζει διὰ τὸ ἀσώματον. Ἀποσκορακίζεται δὲ καὶ ἡ πλάνη τῶν ἀρχαίων φυσικῶν, οἳ οὐδεμίαν οὐσίαν εἰ μὴ σωματικὴν ὑπετίθεντο· ὅθεν καὶ τὴν ψυχὴν σῶμα ἔλεγον, ἢ πῦρ, ἢ ἀέρα, ἢ ὕδωρ, ἤ τι τοιοῦτον.

## L. — Ὅτι αἱ νοεραὶ οὐσίαι ἄϋλοί εἰσιν.

Πᾶν γὰρ ἐξ ὕλης καὶ εἴδους συγκείμενον σῶμά ἐστιν· αἱ δὲ οὐκ εἰσὶ σώματα.

---

10 après *ἀναλογεῖν*, répétition de la syllabe *γεῖν* dans A.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι, εἰ ἐξ ὕλης συγκέοιτο ἡ νοερὰ οὐσία, εἴη ἂν ἐξ ὕλης ἀτόμου, ἵνα ὑφεστηκυῖα ᾖ· ἀλλὰ τοῦτο ἀδύνατον· τὰ γὰρ εἴδη τῶν νοητῶν νοητά εἰσιν ἐνεργείᾳ, καθὸ τῆς ὕλης χωρίζονται· καθόσον δέ εἰσι νοητὰ ἐνεργείᾳ, ἓν μετὰ τοῦ νοῦ γίνονται διὰ τὸ τὸν νοῦν ἀνάγκην εἶναι ἄνευ ὕλης ἀτόμου.

Ἔτι, ἑκάστου ἐξ ὕλης καὶ εἴδους συγκειμένου ἡ ἐνέργεια οὐ τοῦ εἴδους ἢ τῆς ὕλης χωρίς, ἀλλὰ τοῦ συγκειμένου ἐστίν· ἀλλὰ τὸ νοεῖν τοῦ νοῦ, ὅς ἐστιν ἐξ ὕλης καὶ εἴδους σύνθετος, οὐχ οἷόν τε εἶναι τοῦ συνθέτου· εἰ γὰρ τοῦ συνθέτου ἔσται, καὶ τὸ σύνθετον νοήσει μόνον· τοῦτο δὲ ψεῦδος.

Ἔτι, τὰ εἴδη τῶν ὄντων εἶεν ἂν ὑλικῶς καὶ ἐν τῇ ψυχῇ, ὥσπερ εἰσὶν ἔξω· ἔξω δὲ οὐκ εἰσὶ νοητὰ ἐνεργείᾳ, ἀλλὰ δυνάμει μόνον· καὶ ἐν τῇ ψυχῇ ἄρα οὕτως ἔσονται.

Ἔτι, τὰ εἴδη τῶν ἐναντίων ἐν τῇ ὕλῃ ἐναντία, διὸ καὶ ἐξωθοῦσιν ἄλληλα· ἐν δὲ τῷ νῷ οὐκ εἰσὶν ἐναντία· λόγος μὲν οὖν ἐστι θατέρου θάτερον, καὶ δι' ἀλλήλων νοοῦνται. Οὐκ ἄρα ἔχουσι τὸ ὑλικὸν εἶναι ἐν τῷ νῷ, οὐδ' ὁ νοῦς ἐξ ὕλης καὶ εἴδους.

Ἔτι, ἡ ὕλη οὐ δέχεταί τι ἐκ νέου εἶδος ἄνευ κινήσεως ἢ μεταβολῆς· ὁ δὲ νοῦς οὐ κινεῖται δεχόμενος τὰ εἴδη, ἀλλὰ μᾶλλον ἠρεμῶν τελειοῦται τῷ νοεῖν, καὶ ἐμποδὼν αὐτῷ πρὸς τὸ νοεῖν ἡ κίνησις· οὐκ ἄρα εἰσὶν ἐν
f. 51 τῷ νῷ ὡς ἐν ὕλῃ, | ἢ ἐν πράγματι ὑλικῷ· ὅθεν φανερόν, ὅτι αἱ νοεραὶ οὐσίαι ἄϋλοί εἰσιν, ὥσπερ εἰσὶν καὶ ἀσώματοι.

## LI. — Ὅτι ἡ νοερὰ οὐσία οὐκ ἔστιν εἶδος ὑλικόν.

Τὸ γὰρ λέγειν εἶδος εἶναι τὸν νοῦν μὴ ὑφεστώς, ἀλλ' ὥσπερ τῇ ὕλῃ βαπτισθέν, ταὐτόν ἐστι κατὰ τὸ πρᾶγμα, ὥσπερ ἂν εἰ λέγοιτο τὸν νοῦν εἶναι σύνθετον ἐξ ὕλης καὶ εἴδους, μόνον δὲ κατὰ τοὔνομα διαφέρει. Κατὰ μὲν γὰρ τὸν πρότερον τρόπον λεχθήσεται αὐτὸ τὸ εἶδος τοῦ νοῦ σύνθετον, κατὰ δὲ τὸν ὕστερον ὁ νοῦς. Εἰ τοίνυν ψεῦδός ἐστι τὸν νοῦν σύνθετον εἶναι ἐξ ὕλης καὶ εἴδους, ψεῦδος ἔσται καὶ τὸ εἶδος εἶναι ὑλικόν, ἀλλὰ μὴ ὑφεστώς.

## LII. — Ὅτι διάφορον ἐν αὐταῖς τὸ εἶναι καὶ ὅ εἰσιν.

Διὰ ταῦτα μέντοι γε τῇ θείᾳ ἁπλότητι οὐκ ἐξισοῦνται αἱ νοεραὶ οὐσίαι· πρῶτον μὲν γὰρ τὸ εἶναι καὶ ὅ εἰσιν ἐν αὐταῖς οὐκ ἔστι ταὐτόν· τὸ γὰρ ὑφεστὼς εἶναι ἕν ἐστι μόνον, ὡς ὁ Θεός ἐστι τὸ εἶναι αὐτοῦ ὑφεστώς, καὶ διὰ τοῦτο οὐδὲν παρ' αὐτὸν δύναται εἶναι τὸ εἶναι αὐτοῦ.

Ἔτι, τὸ ὑφεστὼς εἶναι ἄπειρον εἶναι ἀνάγκη· οὐ γὰρ ὁρίζεται δεκτικῷ τινι· ἓν δέ ἐστιν ἄπειρον τὸ πρῶτον εἶναι· καὶ ἓν ἄρα ἐστὶν ὑφεστὼς εἶναι αὐτό.

Ἔτι, αὐτὸ τὸ εἶναι ἁρμόζει τῷ πρώτως ποιοῦντι κατὰ τὴν ἰδίαν φύσιν· τὸ γὰρ εἶναι τοῦ Θεοῦ ἐστιν ἡ οὐσία αὐτοῦ· τὸ δὲ ἁρμόζον τινὶ κατὰ τὴν

Ε.Υ.Δ της Κτ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006